eul_wid: mdu-ad

*Μόσχος ὁ Συρακούσιος* · Moschus of Syracuse

## Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Δωρὶς βουκολική* Doric Bucolic
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 440.1.1 Ἁ Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει·
book 440.1.2 „Εἴ τις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
book 440.1.3 δραπετίδας ἐμός ἐστιν· ὁ μανυτὰς γέρας ἑξεῖ,
book 440.1.4 μισθόν τοι τὸ φίλαμα τὸ Κύπριδος· ἢν δ’ ἀγάγῃς νιν,
book 440.5.1 οὐ γυμνὸν τὸ φίλαμα, τὺ δ’, ὦ ξένε, καὶ πλέον ἑξεῖς.
book 440.5.2 ἔστι δ’ ὁ παῖς περίσαμος, ἐν εἴκοσι πᾶσι μάθοις νιν.
book 440.5.3 χρῶτα μὲν οὐ λευκός, πυρὶ δ’ εἴκελος· ὄμματα δ’ αὐτοῦ
book 440.5.4 δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·
book 440.5.5 οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά·
book 440.10.1 ἢν δὲ χολᾷ, νόος ἐστὶν ἀνάμερος· ἠπεροπευτάς,
book 440.10.2 οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδει.
book 440.1 εὐπλόκαμον τὸ κάρανον, ἔχει δ’ ἰταμὸν τὸ πρόσωπον.
book 440.2 μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει·
book 440.3 βάλλει δ’ εἰς Ἀχέροντα καὶ Ἀίδεω βασιλῆα.
book 440.15.1 γυμνὸς μὲν τό γε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται·
book 440.15.2 καὶ πτερόεις ὅσον ὄρνις ἐφίπταται ἄλλον ἐπ’ ἄλλῳ,
book 440.15.3 ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται·
book 440.15.4 τόξον ἔχει μάλα βαιόν, ὑπὲρ τόξω δὲ βέλεμνον·
book 440.15.5 τυτθὸν ἐοῖ τὸ βέλεμνον, ἐς αἰθέρα δ’ ἄχρι φορεῖται·
book 440.20.1 καὶ χρύσεον περὶ νῶτα φαρέτριον· ἔνδοθι δ’ ἐντὶ
book 440.20.2 τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἀμὲ τιτρώσκει.
book 440.20.3 πάντα μὲν ἄγρια, πάντα· πολὺ πλέον ἁ δαΐς αὐτῷ
book 440.20.4 βαιὰ λαμπὰς ἐοῖσα, τὸν ἅλιον αὐτὸν ἀναίθει.
book 440.20.5 ἢν τύ γ’ ἕλῃς τῆνον, δήσας ἄγε μηδ’ ἐλεήσῃς·
book 440.25.1 κἢν ποτίδῃς κλαίοντα, φυλάσσεο, μή σε πλανήσῃ·

book 440.25 κἢν γελάῃ, τύ νιν ἕλκε· καὶ ἢν ἐθέλῃ σε φιλᾶσαι,
book 440.25.3 φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακον ἐντί.
book 440.25.4 ἢν δὲ λέγῃ ‚Λάβε ταῦτα, χαρίζομαι ὅσσα μοι ὅπλα,ʻ
book 440.25.5 μὴ τὺ θίγῃς πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.“
book 200.1.1 Λαμπάδα θεὶς καὶ τόξα βοηλάτιν εἵλετο ῥάβδον
book 200.1.2 οὖλος Ἔρως, πήρην δ’ εἶχε κατωμαδίην·
book 200.1.3 καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων
book 200.1.4 ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον.
book 200.5 εἶπε δ’ ἄνω βλέψας αὐτῷ Διί· „Πλῆσον ἀρούρας,
book 200 μή σε, τὸν Εὐρώπης βοῦν, ὑπ’ ἄροτρα βάλω.“

Eulogikon public reading copy · View original HTML at eulogikon.org